οὗ ἐκεῖ ἦν ἡ σκηνὴ τοῦ μαρτυρίου τοῦ θεοῦ, ἣν ἐποίησεν Μωυ-
4 σῆς παῖς κυρίου ἐν τῇ ἐρήμῳ· [4]ἀλλὰ κιβωτὸν τοῦ θεοῦ ἀνήνεγ-
κεν Δαυιδ ἐκ πόλεως Καριαθιαριμ, ὅτι ἡτοίμασεν αὐτῇ σκηνὴν εἰς
5 Ιερουσαλημ, [5]καὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν, ὃ ἐποίησεν Βεσε-
λεηλ υἱὸς Ουριου υἱοῦ Ωρ, ἐκεῖ ἦν ἔναντι τῆς σκηνῆς κυρίου, καὶ
6 ἐξεζήτησεν αὐτὸ Σαλωμων καὶ ἡ ἐκκλησία, [6]καὶ ἀνήνεγκεν ἐκεῖ
Σαλωμων ἐπὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν ἐνώπιον κυρίου τὸ ἐν
7 τῇ σκηνῇ καὶ ἀνήνεγκεν ἐπ' αὐτὸ ὁλοκαύτωσιν χιλίαν. — [7]ἐν τῇ
νυκτὶ ἐκείνῃ ὤφθη ὁ θεὸς τῷ Σαλωμων καὶ εἶπεν αὐτῷ Αἴτησαι
8 τί σοι δῶ. [8]καὶ εἶπεν Σαλωμων πρὸς τὸν θεόν Σὺ ἐποίησας μετὰ
Δαυιδ τοῦ πατρός μου ἔλεος μέγα καὶ ἐβασίλευσάς με ἀντ' αὐτοῦ·
9 [9]καὶ νῦν, κύριε ὁ θεός, πιστωθήτω τὸ ὄνομά σου ἐπὶ Δαυιδ πα-
τέρα μου, ὅτι σὺ ἐβασίλευσάς με ἐπὶ λαὸν πολὺν ὡς ὁ χοῦς τῆς
10 γῆς· [10]νῦν σοφίαν καὶ σύνεσιν δός μοι, καὶ ἐξελεύσομαι ἐνώπιον
τοῦ λαοῦ τούτου καὶ εἰσελεύσομαι· ὅτι τίς κρινεῖ τὸν λαόν σου
11 τὸν μέγαν τοῦτον; [11]καὶ εἶπεν ὁ θεὸς πρὸς Σαλωμων Ἀνθ' ὧν
ἐγένετο τοῦτο ἐν τῇ καρδίᾳ σου καὶ οὐκ ᾐτήσω πλοῦτον χρημά-
των οὐδὲ δόξαν οὐδὲ τὴν ψυχὴν τῶν ὑπεναντίων καὶ ἡμέρας πολ-
λὰς οὐκ ᾐτήσω καὶ ᾔτησας σεαυτῷ σοφίαν καὶ σύνεσιν, ὅπως
12 κρίνῃς τὸν λαόν μου, ἐφ' ὃν ἐβασίλευσά σε ἐπ' αὐτόν, [12]τὴν σο-
φίαν καὶ τὴν σύνεσιν δίδωμί σοι καὶ πλοῦτον καὶ χρήματα καὶ
δόξαν δώσω σοι, ὡς οὐκ ἐγενήθη ὅμοιός σοι ἐν τοῖς βασιλεῦσι
13 τοῖς ἔμπροσθέ σου καὶ μετὰ σὲ οὐκ ἔσται οὕτως. [13]καὶ ἦλθεν
Σαλωμων ἐκ βαμα τῆς ἐν Γαβαων εἰς Ιερουσαλημ ἀπὸ προσώπου
σκηνῆς μαρτυρίου καὶ ἐβασίλευσεν ἐπὶ Ισραηλ.
14 [14]Καὶ συνήγαγεν Σαλωμων ἅρματα καὶ ἱππεῖς, καὶ ἐγένοντο αὐτῷ
χίλια καὶ τετρακόσια ἅρματα καὶ δώδεκα χιλιάδες ἱππέων· καὶ κατ-
έλιπεν αὐτὰ ἐν πόλεσιν τῶν ἁρμάτων, καὶ ὁ λαὸς μετὰ τοῦ βασι-
15 λέως ἐν Ιερουσαλημ. [15]καὶ ἔθηκεν ὁ βασιλεὺς τὸ χρυσίον καὶ τὸ
ἀργύριον ἐν Ιερουσαλημ ὡς λίθους καὶ τὰς κέδρους ἐν τῇ Ιουδαίᾳ
16 ὡς συκαμίνους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος. [16]καὶ ἡ ἔξοδος τῶν
ἵππων τῶν Σαλωμων ἐξ Αἰγύπτου, καὶ ἡ τιμὴ τῶν ἐμπόρων τοῦ
17 βασιλέως· ἐμπορεύεσθαι ἠγόραζον [17]καὶ ἀνέβαινον καὶ ἐξῆγον ἐξ
Αἰγύπτου ἅρμα ἓν ἑξακοσίων ἀργυρίου καὶ ἵππον ἑκατὸν καὶ πεν-
τήκοντα· καὶ οὕτως πᾶσιν τοῖς βασιλεῦσιν τῶν Χετταίων καὶ βασι-
λεῦσιν Συρίας ἐν χερσὶν αὐτῶν ἔφερον.

4 σκηνην] + δαυιδ A || 5 fin.] + ολη A || 6 ανηνεγκεν bis] αν > B† | αυτο] -του AV† || 8 συ] ο B† || 9 χους] χνους B† || 11 την > A† | εβασιλευσα σε] -λευσας A || 12 χρηματα .. δοξαν] tr. A† | ως] + συ A || 13 βαμα] μαβα B† | εις] της εν B† | απο] προ B | σκηνης μαρτυριου] της σκ. του μαρτ. A || 14 ιππεων] ε > AV†: cf. 16 | εν ult. > A† || 15 τας ult. > A || 16 ιππων] ιππεων B: cf. 14 | των 2° A†] τω B | εμπορευεσθαι compl.] εμ > BA || 17 ενεβαινον B† | χετταιων] χεθθαιων pau., γεθθαιων A†